# Tirteo

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
  ἄνδρ'ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον.
τὴν δ'αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγρούς
  πτωχεύειν πάντων ἔστ'ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
  παισί τε σὺν μικροῖς κουριδίῃ τ'ἀλόχῳ·
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται,οὓς κεν ἵκηται
  χρησμοσύνῃ τ'εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος,κατὰ δ'ἀγλαὸν εἶδος ἐλέγχει,
  πᾶσα δ'ἀτιμία καὶ κακότης ἕπεται.
εἰ δ'οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί'ὤρη
  γίγνεται,οὔτ'αἰδὼς οὔτ'ὄπις οὔτ'ἔλεος,
θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα καὶ περὶ παίδων
  θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι.
ὦ νέοι,ἀλλὰ μάχεσθε παρ'ἀλλήλοισι μένοντες,
  μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
  μηδὲ φιλοψυχεῖτ'ἀνδράσι μαρνάμενοι·

τοὺς δὲ παλαιοτέρους,ὧν οὐκέτι γούνατ'ἐλαφρά
μὴ καταλείποντες φεύγετε,τοὺς γεραιούς
αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ'ἄλκιμον ἐν κονίῃ,
ἔντερά θ'αἱματόεντα φίλαις ἐν χερσὶν ἔχοντα -
αἰσχρὰ τάγ'ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν -
καὶ χρόα γυμνωθέντα·νέοισι δὲ πάντ'ἐπέοικεν,
ὄφρ'ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·
ἀνδράσι μὲν θηητὸς ἰδεῖν,ἐρατὸς δὲ γυναιξίν,
ζωὸς ἐών,καλὸς δ'ἐν προμάχοισι πεσών.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς,χεῖλος ὀδοῦσι δακών.

---